καὶ οἱ ἱερεῖς ἐπεκρότησαν ταῖς χερσὶν αὐτῶν, καὶ ὁ λαός μου ἠγά-
πησεν οὕτως· καὶ τί ποιήσετε εἰς τὰ μετὰ ταῦτα;
6 [1]Ἐνισχύσατε, υἱοὶ Βενιαμιν, ἐκ μέσου τῆς Ιερουσαλημ καὶ ἐν
Θεκουε σημάνατε σάλπιγγι καὶ ὑπὲρ Βαιθαχαρμα ἄρατε σημεῖον,
2 ὅτι κακὰ ἐκκέκυφεν ἀπὸ βορρᾶ, καὶ συντριβὴ μεγάλη γίνεται, [2]καὶ
3 ἀφαιρεθήσεται τὸ ὕψος σου, θύγατερ Σιων. [3]εἰς αὐτὴν ἥξουσιν
ποιμένες καὶ τὰ ποίμνια αὐτῶν καὶ πήξουσιν ἐπ᾽ αὐτὴν σκηνὰς
4 κύκλῳ καὶ ποιμανοῦσιν ἕκαστος τῇ χειρὶ αὐτοῦ. [4]παρασκευάσασθε
ἐπ᾽ αὐτὴν εἰς πόλεμον, ἀνάστητε καὶ ἀναβῶμεν ἐπ᾽ αὐτὴν μεσημ-
βρίας· οὐαὶ ἡμῖν, ὅτι κέκλικεν ἡ ἡμέρα, ὅτι ἐκλείπουσιν αἱ σκιαὶ
5 τῆς ἑσπέρας. [5]ἀνάστητε καὶ ἀναβῶμεν ἐν τῇ νυκτὶ καὶ διαφθείρωμεν
6 τὰ θεμέλια αὐτῆς. [6]ὅτι τάδε λέγει κύριος Ἔκκοψον τὰ ξύλα αὐτῆς,
ἔκχεον ἐπὶ Ιερουσαλημ δύναμιν· ὦ πόλις ψευδής, ὅλη καταδυνα-
7 στεία ἐν αὐτῇ. [7]ὡς ψύχει λάκκος ὕδωρ, οὕτως ψύχει κακία αὐτῆς·
ἀσέβεια καὶ ταλαιπωρία ἀκουσθήσεται ἐν αὐτῇ ἐπὶ πρόσωπον αὐτῆς
8 διὰ παντός. πόνῳ καὶ μάστιγι [8]παιδευθήσῃ, Ιερουσαλημ, μὴ ἀπο-
στῇ ἡ ψυχή μου ἀπὸ σοῦ, μὴ ποιήσω σε ἄβατον γῆν ἥτις οὐ
9 κατοικηθήσεται. [9]ὅτι τάδε λέγει κύριος Καλαμᾶσθε καλαμᾶσθε ὡς
ἄμπελον τὰ κατάλοιπα τοῦ Ισραηλ, ἐπιστρέψατε ὡς ὁ τρυγῶν ἐπὶ
10 τὸν κάρταλλον αὐτοῦ. [10]πρὸς τίνα λαλήσω καὶ διαμαρτύρωμαι,
καὶ ἀκούσεται; ἰδοὺ ἀπερίτμητα τὰ ὦτα αὐτῶν, καὶ οὐ δύνανται
ἀκούειν· ἰδοὺ τὸ ῥῆμα κυρίου ἐγένετο αὐτοῖς εἰς ὀνειδισμόν, οὐ
11 μὴ βουληθῶσιν αὐτὸ ἀκοῦσαι. [11]καὶ τὸν θυμόν μου ἔπλησα καὶ
ἐπέσχον καὶ οὐ συνετέλεσα αὐτούς· ἐκχεῶ ἐπὶ νήπια ἔξωθεν καὶ
ἐπὶ συναγωγὴν νεανίσκων ἅμα, ὅτι ἀνὴρ καὶ γυνὴ συλλημφθήσονται,
12 πρεσβύτερος μετὰ πλήρους ἡμερῶν· [12]καὶ μεταστραφήσονται αἱ
οἰκίαι αὐτῶν εἰς ἑτέρους, ἀγροὶ καὶ αἱ γυναῖκες αὐτῶν ἐπὶ τὸ αὐτό,
ὅτι ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν ταύτην,
13 λέγει κύριος. [13]ὅτι ἀπὸ μικροῦ αὐτῶν καὶ ἕως μεγάλου πάντες
συνετελέσαντο ἄνομα, ἀπὸ ἱερέως καὶ ἕως ψευδοπροφήτου πάντες
14 ἐποίησαν ψευδῆ. [14]καὶ ἰῶντο τὸ σύντριμμα τοῦ λαοῦ μου ἐξουθε-
15 νοῦντες καὶ λέγοντες Εἰρήνη εἰρήνη· καὶ ποῦ ἐστιν εἰρήνη; [15]κατ-
ῃσχύνθησαν, ὅτι ἐξελίποσαν· καὶ οὐδ᾽ ὡς καταισχυνόμενοι κατῃσχύν-

31 μου > A† | ηγαπησαν A† | ποιησητε B*† | μετα ταυτα] μετ αυτα S†
6 1 εν] εκ A | βαιθαχαρμα Sixt.] βαιθθαχ. B†, βεθθαχ. S†, βηθθαχαρ (sic) A†, βηθαχαρμα Q ‖ 3 τη χειρι] την -ρα S† | αυτου] -των A ‖ 4 εσπερας] ημερας BS ‖ 5 αναβωμεν] διαβ. A† | εν τη] επ αυτην B† ‖ 8 κατοικισθη B† ‖ 10 διαμαρτυρωμαι] -ρομαι A | αυτων] υμων SA | δυνανται] δυνησονται B†, δυνασθαι(pro -θε) A† | ου ult.] pr. και A | βουληθωσιν] -λωντε(pro -ται) S*† | ακουσαι > BS*L = 𝔐 ‖ 11 επλησαν SQ† | και επι] και > B*† | μετα] pr. και A† ‖ 12 και αι] αι > S | τους κατοικ. > S*† ‖ 13 και bis] $1^0$ > S†, $2^0$ > BS | εως $1^0$] ως S*†, > A† | συνετελεσαν A ‖ 15 κατησχυνθησαν $2^0$] κατ > SA